φες, (1) πολλῷ πιθανώτερα καὶ κρεῖσσον (2) τῆς πολιτείας ἐκείνης τῆς ἀσυςάτου τοῦ Πλάτωνος. Τοῦτο τὸ ἄροτρον μόνος ἐγὼ νὰ τὸ ἔλκω, ἀδύνατον· γενοῦ λοιπὸν καὶ αὐτὸς βοῦς αροτὴρ, ὑποτάξας τὸν αὐχένα ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ ζυγῷ. Ἡμεῖς ἀλλήλους γινώσκομεν πάνυ καλῶς· ἐγὼ δα τὸν Σίμωνα, καὶ ὁ Σίμων, ἐμέ· ἡ φθάσασα συνδιατριβὴ μὲ τὴν συνομιλίαν τὴν εἰλικρινῆ καὶ συνήθειαν, ἀμφοτέρους πως συνῆψεν εἰς τὸν αὐτὸν τρόπαν, καὶ συνεμόρφωσε, καὶ δέος οὐδὲν μή τι μὴ δυνηθῶμεν εὐθὺ φέρειν τουτὶ τὸ ἄροτρον διὰ τὸ ἀνόμοιον.

" Dis paribus bobus non bene fertur aratrum ·„ (3) ἀλλ' ἔνθα τρόπων ὁμοιότης, καὶ φιλία γνησία καὶ δεδοκιμασμένη, καὶ (οἷον) σφυρήλατος τυγχάνει γε οὖσα,

(1) Ἤγων, ἐζωγράφεις· πῦ ἅμως συνδιέτριψαν ϗ συνεβιότευσαν, ἔμοι γε ἄδηλον. ϗ γὰρ ϗ εἰς τὴν πρὸς αὐτὸν Ἀφιερωτικὴν ἐπιςολὴν, πατριαρχεύσαντα ἤδη, τὴν ἐν τῷ Β΄. Τόμ. τῶν τῦ Θεοδωρήτυ, ἅπερ ἐκεῖνος ἐξέδωκε τῷ 1770. ἔτει, πολλά τινα λέγει περὶ τῆς πολυχρονίυ πρὸς ἀλλήλας συνηθείας ϗ συμμελέτης, ἀλλὰ πῦ ποτε γῆς ἐποιήσαντο ταύτην, οὐδαμῶς ὑπαινίττεται. φησὶ γὰρ· " Ἀλλ' ἔμοιγε εὔλογον, παρὰ τὰ εἰρημένα . . . ἀποφαίνει τὴν ἀφοσίωσιν, ἣν μετὰ σῦ πάτερ, ἀνέκαθεν ἐξ ἧς μάλα βραχείας τῆς συνδιατριβῆς τε ϗ ὁμιλίας ἐγγενομένη συνήθεια, ϗ ὁ ἐξ αὐτῆς εἰς βάθος μοι ἐντετηκὼς ἀκραιφνὴς ἔρως, αἵτε περὶ τοὺς λόγυς, τὰ καλὰ παιδικὰ, κοιναὶ μελέται ϗ συνουσίαι ϗ συνασκήσεις, αἷς πῇ μὲν ἀλλήλων τὸ τῦ νοὸς πτερὸν ἤμεν ποτε διανιςῶντες ϗ διατείνοντες· πῇ δὲ ϗ ἄλλως ἅμα, τό γε καθ' ἑαυτοὺς, ἐπὶ τὴν ὁμοίαν πτῆσιν παραγυμνάζοντές τε ϗ διαθήγοντες. „ κτλ· Ὡς γῦν ἔφην, ἔμοιγε ἄδηλον πῦ ποτε γῆς συνδιέτριψαν ϗ συνεσπούδασαν τὰ μαθήματα· φασὶ δέ τινες, ὅτι Ἐνετίησι.

(2) πολλῷ πιθανώτερα ϗ κρεῖσσον, γραπτ. πάντως, πολλῷ πιθανωτέρα ϗ κρείσσων· ἀναφορικῶς εἰς τὸ Ἀκαδημία. ἢ λητέον ἐπιρρηματικῶς ἀντὶ πιθανωτέρως ϗ κρειττόνως· ὡς πρὸς τὸ ἔγραφες.

(3) Τοῦτα δὲ ὁ αὐτ. Εὐγέν. οὕτω μετέφρασεν ἐν τῇ Φιλοθ. Ἀδολεσχίᾳ Τόμ. Β΄. σελ. 251. ἐν Ἡρῴῳ τῷ μέτρῳ.
" Βαυσὶν ἀνίσοις ὅτι καλῶς τὸ ἄροτρον ἄγοιτο· „

(ἐκεῖ) (1) καὶ ὁ δεσμὸς τῆς ἀγαπήσεως ἄῤῥηκτος, καὶ ἡ διχοςασία μακρὰν. Ἐγὼ πέποιθα ἐπὶ σοί· δίκαιον καὶ αὐτὸς νὰ ἔχῃς πρὸς ἐμὲ τὴν αὐτὴν πεποίθησιν. θεοῦ δὲ ἡγουμένου, ἡ ἐλπὶς οὐ καταισχυνεῖ. Λοιπὸν ἀδελφὲ, ἔνδυσαι τὸ πρῶτον ἱμάτιον· ἐρέθισον τὰ σύνοικά σοι πνεύματα τῆς μεγαλοφροσύνης· ἀπόπτυσον τὴν φλυαρίαν τοῦ κόσμου· ἀποπήδησον τὰ σκηνώματα τοῦ Κηδάρ· (2) προτίμησον τὰς αὐλὰς τῆς Ἀθωνιάδος περικαλλοῦς Ἀκαδημίας· (3) πάντως γὰρ οὐ παραῤῥιφήσῃ, (4) ἀλλ' ἐν τοῖς πρώτοις τεταξῃ. Ἐνθυμήθητι, καὶ διέγειραι τὸν παλαιὸν ὃν εἶχες πόθον, νὰ φανῇς ποτε εὔχρηςος, καὶ ὠφελείας παραίτιος εἰς τὸ Γένος. Ἰδοὺ ὁ καιρός· πρόχειρος ὁ τρόπος. Ἰδοὺ αἱ χῶραι λευκαί εἰσιν εἰς θερισμόν· παχεῖα ἡ βῶλος, δεχομένη βαθεῖαν τὴν αὔλακα· (5) νέοι πολλοὶ συῤῥεύσαντες, καὶ συμφορούμενοι ἀπὸ κάθε μέρος, οἱ μὲν ἀπὸ βλέπουσιν εἰς ἐμὲ, οἱ δὲ εἰς σὲ, καὶ ἐξ ἀμφοῖν, ὡς ἀφ' ἑνὸς τὴν ὠφέλειαν προσδοκῶντες, καὶ ὠφέλιμοι καὶ πολλοῖς ἄλλοις ἐσόμενοι. Ἀνάδοσαι τῇ μνήμῃ καὶ εἰς τοὺς ἀοιδίμους ἐκείνους διδασκάλους, ὧν τὸ κλέος οὐδ' ἂν ὁ

(1) Σημ. ὅτι τὸ (οἷον) ϗ τὸ (ἐκεῖ) οὕτω διειλημμένα, προσετέθησαν ὑπ ἐμοῦ· ὁ δὲ λόγος σαφής· τοιαῦται δὲ προσθῆκαι ἐγένοντο ϗ ἄλλαι τινὲς ἐνταῦθα.

(2) Ἐννοεῖ τὴν Κωνσταντινούπολιν, ὡς ὑπὸ τῶν υἱῶν Κηδὰρ τάχα κατοικημένην ϗ κρατυμένην· ἐξ Ἡσαΐε κφ΄. κά. 16. 17.

(3) Πρὸς διαζολὴν πάντως τῆς Ἀθηδος Ἀκαδημίας τῦ Πλάτωνος.

(4) Ἀποτείνεται εἰς τὸ ἐν ἀϊχῇ τῆς Ἐπιζολῆς, Παραῤῥιπτείσθαι ἐν τῷ οἴκῳ κτλ.

(5) Ἐν τοῖς ἑπομένοις ἀποδίδωσι τὰ μεταφορικὰ· ἀλλ' ἔδει ϗ προεκθέσθαι· " Νέοι πρὸς λόγυς ὀργῶντες ϗ εὖ ἔχοντες φύσεως ·„ ἵνα τ[illegible]τον, ἵν' ᾖ εὐαπόδοτος ἡμεταφορά· ἄλλως γὰρ οὐκ ἐρρῶσθαι δοκεῖ. Οὕτω δυσφύλακτον τὸ πρὸς τὰς μεταφορὰς πλημμελεῖν· κατὰ ὀργὴν· ϗ Ἑρμογ. εἰπεῖ.

πᾶς αἰὼν ἐξαλείψειε· ἀναμνήσθητι τῶν Μακαρίων καὶ Γερασίμων· (1) γενοῦ καὶ αὐτὸς πρὸς ἐμέ, οἷος πρὸς Μακάριον ἀνεδείχθη ὁ Γεράσιμος· ἀκουέσθω τοῦ λοιποῦ τὸ τοῦ Κυπριανοῦ καὶ Εὐγενίου ὄνομα ὡς ἕν, καθὼς ἀκούεται τὰ ἐκείνων· καὶ οὐ τοῦτο λέγω, ὅτι ἄξιός εἰμι νὰ παραβάλλωμαι πρός τοιοῦτον ἄνδρα, ἀλλὰ κωλύει πάντως οὐδέν, τὸ νὰ ἀπλώνεταί τινας εἰς τὰ ὑψηλότερα παραδείγματα διὰ ζήλου ἐπαινετοῦ καὶ μιμήσεως· ἄλλως τε, καὶ ἂν ἐγὼ πολὺ ἀπέχω τῆς τελειότητος τοῦ ἑνός, αὐτὸς δὲν εἶσαι ἥττων τοῦ ἄλλου. καὶ ὁ ἑτέρωθεν πλεονασμὸς ἀντισηκώσῃ τὴν ἑτέρωθεν ἔλλειψιν. Ἐνδοιάζεις; αὐτὸ (τὸ πρᾶγμα) δείξει, φασί, καὶ δικαιώσει τὴν ἐμὴν κρίσιν, Θεοῦ συναιρομένου, ἡ ἔκβασις. Ἀναβάλλῃ; αἰ, ἀπόσεισαι πάντα σμικροπρεπῆ λογισμόν. Ἀλλ' ἀνθρώπων συνθῆκαι δεσμεύσασαί σε κατέχουσιν; ἀλλ' αὐτὸς διόρρηξον τοὺς ἀνθρωπίνους δεσμούς, τῇ θεία ἰσχύϊ ῥωννύμενος· (καὶ) ἄσεις, εὖ οἶδ' ὅτι τῷ Θεῷ μετ' εὐφροσύνης τὰ χαριστήρια· καὶ, "Ἡ πτὶς ἐρεῖς, συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου." Μέχρι τίνος ὁ Ἀχιλλεὺς θαλαμεύεται ὡς αἱ παρθένοι; (2) καὶ ὑποτέμνει τὰς ἐπ' αὐτῷ τῆς Ἑλλάδος ἁπάσης ἐλπίδας; ἢ μέχρι τίνος, ἑνί τινι χαριζόμενος, ἀδικεῖ τὸ Πανελλήνιον; ἢ ἡ αὐτόσε ἀνάπαυσις τούτων τἀναντία συγκατεπάδει, καὶ ἡ παρ' ἡμῖν ἐρημία σὲ δειματοῖ; Ἴσθι σον, εὑρήσεις εἰς τἀναντία

(1) Πρώτων διδασκάλων τῶν ἐν τῇ Πάτμῳ Σχολείου ἀνδρῶν λόγῳ καὶ πράξει κεκοσμημένων. Δυὰς ἀγαθὴ, ξυνωρὶς ἁγία, πολλ' ἀγαθὰ συμφορήσασα εἰς τὸ Γένος, μακαρία ἡ μνήμη ὑμῶν.

(2) Εἰς τὸν Παρθωνᾶνα τῶν Λυκμήδους ἐν Σκύρῳ; σὺ δηλ. ὁ Κυπριανὸς εἴς τινα λαμπρὸν οἶκον Ἀρχοντικὸν ἐν τῇ Κωνσταντινουπόλει; καὶ ἡ ἑξῆς ἐρώτησις οὕτω.

τία τὸ πρᾶγμα περιϊσάμενον, εἰσακούσας μου. Αὐτοῦ ταραχὴ καὶ τύρβη· ἐδῶ ἡσυχία καὶ ἄνεσις· αὐτοῦ ἐρημία καὶ μόνωσις· ἐδῶ ὁμιλία καὶ διατριβὴ γλυκυτάτη· Αἰσχύνομαι νὰ παραβάλω τὴν Ἱερουσαλὴμ μὲ τὴν Ἱεριχώ. (1) ἐπειδὴ τὶ νομίζεις τῶν ἀνθρωπίνων εἰς ἡδονὴν ἴσον, ἀπὸ τὴν ἀταραξίαν τῆς ψυχῆς καὶ ἀσφάλειαν; τὶ ἀπὸ τὸ ἐλεύθερον τοῦ ἡγεμονικοῦ καὶ ἀδούλωτον; τὶ ἀπὸ τὸ ἀνενδεές, καὶ ἀπὸ τὸ νὰ ᾖναι ἐπιδεεῖς σου ἄλλοι; Ἐδῶ πάντα ταῦτα εὑρήσεις, καὶ παρὰ ταῦτα, μυρία ἄλλα καλὰ πλουτεῖ ὁ ἡμέτερος οὗτος λόφος· (2) τὰ ὁποῖα ἀκριβῶς οὐδεὶς λόγος παρασῆσαι δυνήσεται. Ἐδῶ καὶ ὕδατα καλλίῤῥοα, καὶ ἀὴρ εὐκρατέστατος, καὶ αὔρα ποντιὰς, τὸ περιέχον ἡμᾶς καταψύχουσα· ἄλση τε συνηρεφῆ καὶ κατάσκια πανταχόθεν, καὶ χλόη ἀειθαλὴς, τὴν ὄρασιν κατατέρπουσα· φυτῶν δὲ εἴδη παντοῖα, ἐλαῖαι, ἄμπελοι, δάφναι, μυρσίναι, (3) σιγῶ τἄλλα, τὰ μὲν, εἰς τροφήν· τὰ δὲ, εἰς τρυφὴν, γῆς ὑγιαινούσης βλαστήματα· καὶ πτηνῶν σίφη καλλικελάδων· ἐν οἷς πολλὴ ἡ ἀηδὼν καὶ ὁ κόσσυφος, καὶ ἡ χελιδὼν, ταῖς φωναῖς τῶν τῇδε καὶ κεῖσε περιόντων, καὶ ἐπ' ἀδείας μελετώντων μουσοτρόφων τούτων νεανίσκων, συναμιλλώμενα. λιμενίσκος τε (κεῖται) ὑπὸ τὸν λόφον μικρὸς

ἐν

(1) Δηλ. τὸ Ἅγιον ὄρος μὲ τὸ Βυζάντιον· εἰς ὅπερ ὅμως μετὰ ταῦτα καὶ αὐτὸς Εὐγένιος ἀναγκασθεὶς παρεγένετε, ἀλλὰ τάχιστα ἀπηλλάγη, ὑπὸ τῶν ἀπομούσων κατατρεχόμενος.

(2) Ὁ περὶ τὸ Βατοπέδιον δηλ. ἔνθα ἦν τὸ Σχολεῖον τὸ πολυθρύλλητον τότε, νῦν δὲ πολυθρήνητον διὰ τὴν ἐρέπωσιν· ὃν λόφον καὶ τὰ περὶ αὐτὸν, εὐγενέστατα ἐκφράζει, καὶ ὡς ὀκ ἄντις ἕτερος καλλίων.

(3) Προσθετέον ὅμως καὶ κάσανα, καὶ ποντίκια, (φουντούκια,) ταυτὸν εἰπεῖν Ποντικὰ κάρυα, καὶ λεπτοκάρυα, καὶ ἀγριοκέρασα, πλουτεῖ γὰρ εὖ μάλα τῶν τοιούτων ὁ Ἄθως.

ἐν μέρει καὶ ἑτέρωθεν ἄκρα προβλῆτις· (1) καὶ ἰχθύες ἐντεῦθεν, τοὺς καταβῆναι καὶ ἀγρεῦσαι μὴ ὀκνήσαντας, ἀξιῶντες (2) καὶ δεξιούμενει· θάλασσά τε ὑπερρωμένη κυκλόθεν, νῦν μὲν γαληνιῶσα καὶ κρυσαλλίζουσα· νῦν δ' ὑποφρίσσουσα, καὶ πρὸς τὸ οὖλον ὑποτραχυνομένη· νῦν δ' ἐπαφρίζουσα, καὶ ἐκ μυχῶν αὐτῶν ταρασσομένη, ἄλλοτε ἄλλως ποικίλον παρίσταται θέαμα· Ὅλα καλὰ, ὅλα γλυκυθυμίας, οὐκ ἔχω εἰπεῖν ὅσης πρόξε-

(1) Ἡ λέξις προβλῆτις οὐχ εὕρηται, πεποίηται δὲ παρὰ τὴν ἀναλογίαν· ὡς δῆλον, καθὰ καὶ ἄλλα παρ' αὐτῷ ἀλλαχοῦ, ἐκτὸς εἰμή τις εἴποι γραφικὸν εἶναι ἁμάρτημα, ἀντὶ τοῦ, προβλής τις· ἦγουν προβεβλημένη πως, προὔχουσα, προκειμένη τῆς γῆς εἰς τὴν θάλασσαν· ὡς παρὰ Παυσαν. Ἀττ. ά. "Ἄκρα Σούνιον πρόκειται γῆς τῆς Ἀττικῆς." Ἀλλ' ἐπὶ μὲν τοῦ Παυσαν. τοῦδε, ἀντὶ τοῦ Ἀκρωτήριον λεπτέον τὴν λέξιν ὡς ἔχει δὴ· ἐνταῦθα δ' ἐπὶ τοῦ προκειμένου, ἐπὶ αἰγιαλοῦ ἢ πέτρώδους παφαθαλάσσιου· ὃ κυρίως ἀκτὴ λέγεται· ᾧ ἐναντίον τὸ Θῖς, ὅ ἐστιν ἀμμώδες παραθαλάσσιον. Ἀλλὰ τὸ Ἀκτὴ προβλὴς, ἢ προὔχουσα, διττῶς ἐκλαμβάνεται. τὸ μὲν γὰρ Ἀπολλων. Ἀργον. β'. 354. "Ἀκτή τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει· "ἀδηρίτως ἐπὶ ἀκρωτηρίᾳ λαμβάνεται· ὡς καὶ τὸ Ὁδυσσ. Ω. 80 "... μέγαν τύμβον Χεύαμεν. Ἀκτῇ ἐπὶ προὐχούσῃ." τυτ. τῇ προβλῆτι ἀκτῇ· ὅ ἐστι τὸ Σίγειον ἀκρωτήριον. Τὸ δὲ Ὀδυσσ. Ε. 404 "Οὐ γὰρ ἔσαν λιμένες... Ἀλλ' ἀκταὶ προβλῆτες." ἀντὶ τοῦ, προβεβλημέναι τῆς θαλάσσης πέτραι· ὥς φησιν ὁ Σχολ. παρὰ τὸ ἀγνυσθαι δηλονότι τὰ κύματα· ἢ κατ Εὐσάθ. αἱ προβεβλημέναι καὶ μὴ κρυπτόμεναι πέτραι· ἢ τόποι πετρώδεις προνεύοντες εἰς τὴν θάλασσαν. Ἀλλ' ἐπειδὴ κεῖται ἐν Ἰλ. π. 407. "Πέτρῃ ἐπὶ προβλῆτι καθήμενος, ἱερὸν ἰχθὺν (ἕλκει·)" ἐξ οὗ καὶ Συνέσ. Ἐπις. δ. ἀντὶ τοῦ, ἄκρα, πέτρα εἶπεν· "Ἐλάθομεν ἐγχρίψαντες πέτρᾳ προβεβλημένῃ τῆς γῆς, ὅσον εἶναι βραχεῖαν χερρόνησον· "ἄμεινον καὶ ἐνταῦθα εἰ, πέτρα προβλὴς, ἐγέγραπτο. ἢ τέως γραπτ. πληθυντικῶς, ἄκραι προβλῆτες· ὃ καὶ μᾶλλον· τοιοῦτοι γὰρ οἱ κατὰ τὸ Βατοπέδιον αἰγιαλοί.

(2) Ἴσ. δεξιῶντες. Ἀλλὰ πῶς; τῇ προσφορᾷ ἑαυτῶν τῷ ἀγρευτῇ. πῶς δὲ δεξιούμενοι; λαμβανόμενοι τῇ δεξιᾷ ὑπὸ τοῦ ἀγρευτοῦ, καὶ τῷ ταγήνῳ ἢ τῇ λοπάδι παρασχευνύμενοι.

ξενα. (1) Εἶτ' ἐπὶ τουτοις, αἱ μοῦσαι ἐλευθέρως περιχορεύουσαι, καὶ ἡ Παλλὰς ἄνευ τῆς Γοργοῦς, (2) καὶ τὸ θεωρημάτιον ἐπὶ τῆς ψάμμου, εἰ τύχοι σχεδιαζόμενον· (3) καὶ ὁ Σωκρατικὸς Ἀρίστιππος ἀνδρῶν ἴχνη ἤθελεν εὑρεῖ καὶ εἰς τὰ πυράκτια, καὶ ὑπὸ τὰς σκιὰς τῶν δένδρων ἀνεπτυγμένα βιβλία τε καὶ τετράδια. (4) καὶ

(1) Ἀλλὰ ταῦτα μὲν τῶν φυσικῶν τἀγαθὰ, ἃ οὐδέν τι μᾶλλον ἐκείνου προσάξοιτο· ἦν γὰρ ταῦτα ἃ ἀλλαχοῦ, ἃ μάλισθ' ἁπάντων πλουτεῖ τὸ Βυζάντιον· ἃ ἃ παραθέσθαι ἐνταῦθα οὐκ ἄχαρι, ὀλίγ' ἐκ πολλῶν, ὑπὸ καλάμῳ ἀτεχνῶς γλευκίζοντι τῷ σοφῷ Χωνειάτῃ, ἢ σακχαρίζοντι ταῖς ἐκφράσεσι· Χρονικ. βιβ. γ'. ἐν Ἀλεξ. Ἀγγέλ. "Τίς ἂν ἀνέξεται ὅλως ταῖς βαρβαρικαῖς ταύταις, ἃ ὅλως ἀχαριτώτοις χώραις διατρίβειν ἐπὶ πολὺ, δι' οὐδὲν ἢ μικρὸν ὄφελος; τῆς σικύων ἃ τῶν πεπόνων ὥρας ἐφισαμένης, ἃ τῶν ἄλλων περκαζόντων ὡραίων τῆς γῆς, οἷς ὑπερβέβριθε δὲ Πρόποντις, ὅσα ἃ παράδεισος χειρὶ Θεοῦ φυτευθείς; Εὖθε ὑπὸ πλακὶ Ῥηγίᾳ γενοίμεθα, ἃ Ἀπάμειαν θεασαίμεθα, ὅπως προσείποιμεν τὴν ἱερὰν Κωνσταντινούπολιν, κἀκεῖθεν εἰς τὰ πρὸ τοῦ Πόντου τρυφερὰ χωρία προσαναπλεύσαιμεν· ἔνθα πραεῖά τις αὔρα βόρειος ἃ ζωογόνος προσβάλλει διὰ παντὸς, ἃ ἰχθύες νεοληῖς περισκαίρουσι, ἃ δελφῖνες ἥδιστα ἀναθρώσκουσι, λιτρῶν τε χάριτες διαγελῶσιν ἁπανταχῇ, ἃ ἀργύρεα πλανώμενα ὕδατα τὸν θεατὴν διαχέουσι, ἃ τὰς ἀκοὰς τῶν δεῦρο καὶ κεῖσε περιφοιτώντων ἐξιῶσι κατακηλῶσαι χελιδόνες, ἃ μελεάζουσαι ἀηδόνες, ἃ πᾶν ἕτερον ἄλλῃ ἃ ἄλλῃ τρύζον ἐν ταῖς λόχμαις ἃ τιτυβίζον μυσικὸν πτερόν." Οὔκουν ἱκανὰ ταῦτα πεῖθειν, ὥστε ἀφέμενον τῶν ἐν ποσὶ, τὰ πόρρω διώκειν ἃ μὴ φαινόμενα· ἀλλ' ἔστιν ἐπίδειξις τῶν περὶ λόγους δυναμένων χαρίεσσα, ὡς ἄρα παιζόντων ἂν τοῖς λόγοις οἷα ἃ βούλονται.

(2) Δηλ. ἡ Ἀθηνᾶ, ἡ Σοφία, ἄνευ φοβήτρου, ἀλλὰ μετ' ἀσφήνης ἃ ἡσυχίας μάλα πολλῆς.

(3) Ὑπὸ τῶν μαθητῶν· ὥσπερ ἃ ὑπὸ Ἀρχιμήδους σχήματα ἐγράφετο τῶν Γεωμετρικῶν ἐν ταῖς ἐσχάραις τῶν λουτρῶν, ἃ τοῦ σώματος ἀληλιμμένου διῆγε τῷ δακτύλῳ γραμμὰς ὑφ' ἡδονῆς μεγάλης, κάτοχος ὢν ἃ μυσόληπτος ἀληθῶς. Πλούταρ. ἐν Μαρκέλ.

(4) Διογέν. ὁ Λαέρτ. οὐδὲν τοιοῦτον φαίνεται ἱστορῶν περὶ Ἀριστίππου, ὡς ἄρα ζητοίη ἴχνη ἀνδρῶν, ἃ εὕροι ἀντὶ τούτων βιβλία ἃ σχήματα Γεωμετρικά.

καὶ τὸ μέλαν, τῆς γραφίδος ἀποσάζον, μιαίνει καὶ κατασαίζει, ἀποθυμαινετοῦσαν ἴσως, ὅτι χυμὸς αὐτῇ ἐπιχεῖται ἀπροσφυὴς, διψαλέαν τὴν πόαν· (1) καὶ περιηχεῖ εἰς τὰ δάεσα ἡ Ἑλλὰς ἀναθάλλουσα. Καὶ ἐκεῖ μὲν ἀγωνίζεται ὁ Δημοσθένης, κατὰ τοῦ Μακεδόνος βαρβύνων τοὺς Ἀθηναίους· (2) ἐκεῖ δὲ ῥαψῳδεῖ ὁ Ὅμηρος τὰς ἀνδραγαθίας τὰς ὑπὸ τὸ Ἴλιον· ἐκεῖ δὲ ἱστορεῖ μὲ ὕψος, τῆς Ἑλλάδος τὴν σάσιν ὁ Θουκυδίδης· ἐκεῖ δὲ ἀφηγεῖται ὁ πατὴρ τῆς ἱστορίας (3) Ἰωνίζων, τὰς ἀρχαιότητας, καὶ τρόπαια κατὰ τῶν βαρβάρων· ἐδὼ καὶ ὁ Πλάτων θεολογεῖ, καὶ ὁ Ἀριστοτέλης πολυπραγμονεῖ τὴν φύσιν· καὶ Γάλλοι καὶ Γερμανοὶ καὶ Ἄγγλοι, προβάλλουσι τὰ νεωτερικὰ αὐτῶν συγγράματα. Ἀλλὰ τί ταῦτα; μήπως προβάλλονταί σοι παρ' ἐμοῦ μόνα ὡς θέλγητρα; ὄχι· νύξιν δέδωκά σοι τινὰ, διὰ νὰ ἰδῇς (ἂν δὲν καταπεισθῇς ὅσον τάχος νὰ ἔλθῃς·) πόσης ζημίας παραίτιος γίνεσαι εἰς τὸ γένος, καὶ ἀπὸ πόσα καλὰ τὸ ἀπωσερεῖς· ἐπειδὴ ἄνευ τῆς παρὰ σοῦ ταχίστης βοηθείας, καὶ συναντιλήψεως. ἀνάγκη εἶναι νὰ περιαιρεθῇ ὅλα αὐτὰ, ὃν ἀδύνατον ἐγὼ μόνος νὰ ἀρκέσω εἰς ὅλα, ὅπου γε καὶ τὸ εἰς ὃ διωρίσθην μόνον, (4) εἶναι ὑπὲρ τὴν ἐμὴν δύμιν. Ἐρρωμένος ὑπὸ Θεῷ ἡγεμόνι τῆς ὁδοῦ ἄψαιο.

ΣΚΟ-

(1) Σφόδρα γε περεέργασαι τὸ τῦ μέλανος ἢ τῆς πόας ἐνταῦθα, καὶ πως μειρακιώδές ἐςι καὶ παρένθυρσον, ἢ παρασεσυρμένον εἰς τὸ ἀβέλτερον,

(2) Ἐν τοῖς Ὀλυνθιακοῖς, ἢ τοῖς ἰδίᾳ καλουμένοις Φιλιππικοῖς.

(3) Δηλ. ὁ Ἡρόδοτος.

(4) Δηλ. ἔργον, τὴν τῶν Φιλοσοφικῶν μαθημάτων παράδοσιν.

ΣΚΟΛΙΟΝ,

Εἴτουν

ΩΔΑΡΙΟΝ ΗΘΙΚΟΝ,

Ποιηθὲν Ποτε

Ὑπὸ

Ν. ΛΟΓΑΔΟΥ.

Κεῖσθω ἐνταῦθα, εἴτι καὶ ὄφελος, καὶ τὸ παρὸν Σκόλιον, ὅμοι ποτὲ πέπαικται, ἐπεξεργασθὲν ἐπὶ τοῦ, "Ὑγεία καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο·" ἐν σίχοις πολιτικοῖς. Σκολιὰ δὲ εἰσι μέλη, εἴτουν ᾠδαὶ, παρὰ τοὺς πότους ἀδόμενα ὑπὸ σοφῶν καὶ συνετῶν ἀνδρῶν δοκούντων μόνον, ἔχοντα παραίνεσίν τινα καὶ γνώμην χρησίμην εἰς τὸν βίον, τὴν ὀνομασίαν λαβόντα κατὰ ἀντίφρασιν, ἅτε ἁπλούστατα ὄντα, εἰ καί τισιν ἄλλως δοκεῖ. Ὅρ. Πρόκλ. Χρησταθ. παρὰ Φωτ. κώδ. σλθ. καὶ Ἀθήν. βιβλ. ιέ. κφ. ις'. Τοιοῦτον τὸ παρ' Ἀθην. αὐτόθ. τοῦ Ἀριστοτέλους.

Ἀρετὰ πολύμοχθε,
γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι παρθένε μορφᾶς,
καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος,
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας κτλ.

Τὸ δὲ ἑξῆς οὐ Σκολιὸν, ἀλλὰ Παιᾶνα, φησὶν Ἀθήν. ὃν ἐποίησεν Ἀρίφρων ὁ Σικυώνιος, κείμενον ἐν τέλει τοῦ ιέ. βιβλίου τοῦ Ἀθηναίου.

SISMANOGLIO MEGARO

Ὑγίεια πρεσβίσα μακάρων,
μετὰ σοῦ ναίοι μι
τὸ λειπόμενον βιοτᾶς·
σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
– – – – – – – – – ⏑ –
μετὰ σεῖο, μάκαιρα Ὑγίεια,
τέθηλε πάντα, καὶ λάμπει χαρίτων ἔαρ·
σέθεν δὲ χωρὶς, οὔτις εὐδαίμων. κτλ.

Ἀλλ' οὐκ ἂν εἴημι τὸ τοιοῦτον Παιὰν, Σκολιὸν δέ· οὐδεμίαν γὰρ ἔμφασιν Παιᾶνος παρέχει τὸ ᾆσμα, οὐδὲ Παιανικὸν ἰδίωμα, οὐδὲ μὴν τὸ Παιανικὸν ἔχει ἐπίφθεγμα, Ἰὴ Παιάν· ὡς φησιν αὐτόθι Δημόκριτος, ᾧ διακρίνειν εἰώθαμεν τὸν Παιᾶνα τοῦ Σκολιοῦ· τἀληθὲς δὲ εἰπεῖν, πολλῆς φιλολογίας δεῖται τὸ πρᾶγμα, ἵνα τις ἐξακριβωσάμενος τὰ κατὰ ταύτην τὴν ἰδέαν τῆς Ποιητικῆς πεπεισμένα ᾄσματα, διακρίνειν ἔχῃ τὰ Σκολιὰ τῶν Παιάνων· τὸ δὲ ἡμέτερον, ὄνομα λαχὸν καὶ αὐτὸ Σκολιοῦ, ἔχει ὧδε.

Ἃ τὸ ἐράσμιόν μου ὄν,
τὸ πάγγλυκυ καὶ ποθεινόν·
φωνάζει ἡ χρυσομανὴς· ἃ μέταλλον ὡραῖον,
φλογεϊδέσατον, ὠχρὸν, πανέντιμον, εὐκταῖον.
Ἃ τὸ γλυκὺ πικράν μου ὄν,
ἠδύ τε ἅμα καὶ δεινόν·
ἀντιβοᾷ ὁ ἐρασὴς· ἄχ Ἔρως πανδαμάτωρ,
πολυπίθετε, κλεινέ, τῶν ζώντων μονοκράτωρ·
Ἄχ ὦ Τιμή μου ποθεινὴ,
τρισασπασία μου ποινή,
ἐκπνέει ὁ δοξομανὴς· κινήτρια τοῦ βίου,
ὦ περισπούδαστε Τιμὴ, τοῦ γένους τοῦ βροτείου.
Ἄχ οἶνε, οἶνε αὐσηρὲ,

πλὴν ἐν ταὐτῷ καὶ δροσερέ·
ἀκούω τὸν οἰνόφλυγα ὅτι ἀναχραυγάζει·
Οἶνος λύει τοὺς πόνους μου, καὶ τὰ κακὰ σκεδάζει.
Ταῦτα φωνάζει ὁ καθεὶς,
ὁ ἄνθρωπος ὁ ἐμπαθής·
Ἀλλ' ὅμως οἶνος, καὶ χρυσὸς, δόξα, τιμὴ, καὶ ἔρως,
χωρὶς ὑγείας καὶ νοὸς, τί δύνανται ὑγέρως;
Ὁ περιμάχητος χρυσὸς,
δὲν εἶν' ὡς ἄπνους Κολοσσὸς,
χωρὶς ὑγείας καὶ νοός; ὡσαύτως καὶ τὰ ἄλλα,
δὲν εἶναι πάντη ἀδρανῆ τὰ πάθη τὰ μεγάλα;
Ἄρα ὑγεία καὶ ὁ νοῦς,
καὶ εὐγενοῦς καὶ ἀγενοῦς,
εἶναι αἱ πρώτισται βύχαι, ὡς στοιχειώδεις βάσεις,
πλουσίου τε καὶ δυσυχοῦς, καὶ τάξεως ἁπάσης.
ὡς πόλοι, ὁ μὲν Ἀρκτικὸς,
ὁ ἄλλος δὲ Ἀνταρκτικὸς·
εἰς τοὺς ὁποίους στρέφεται ἡ τῆς ζωῆς μας σφαῖρα,
καὶ ἀνατέλλει ἡ λαμπρὰ τῆς τύχης μας ἡ μέρα·
ὥσπερ δυνάμεις ἑλκτικαὶ,
ἐπίσης ἀντιδρασικαὶ,
δι' ὧν κινούμεναι θνητοὶ, πανευτυχῶς χωροῦσι,
τὴν διαγώνιον γραμμὴν τοῦ βίου ἐκμετροῦσι.
ὑγεία μὲν, παθῶν ἐκτὸς,
νοῦς δ' Ἀττικὸς, οὐ Βοιωτὸς,
κακοηθείας ἀμιγὴς, καλῶς πεπαιδευμένος·
μὲ φῶτα Φιλοσοφικὰ, καὶ θεῖα λαμπρυσμένος.
Ταῦτα ὦ πνεῦμά μου συγγὸν,
λογίζου ὡς Ὠκεανὸν,
ταῦτα τὰ δύο ἀγαθὰ, ἐξ ὧν ἀναπηγάζει,
πᾶσα πηγὴ, πᾶς ποταμὸς τῶν ἐφετῶν καχλάζει.

© SISMANOGLIO INSTITUTO

ΤΩ ΠΑΝΑΓΙΩΤΑΤΩ, ΘΕΙΟΤΑΤΩ, ΣΟΦΩΤΑΤΩ, ΤΕ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩ, ΠΑΤΡΙΑΡΧΗ, ΚΥΡΙΩ, ΚΥΡΙΩ ΚΩΝΣΤΑΝΤΙΝΩ, ΤΩ, ΠΑΝΣΕΒΑΣΤΩ, ΜΟΙ ΔΕΣΠΟΤΗ,

ΕΥΘΥΣ ἐκ Φροιμίων εὐτυχῶν τῆς ὑμετέρας θεσδωρήτε Πατριαρχείας, εὐτυχῆν μοι ἐφάνη τὸ παρὸν πονημάτιον, ἢ κεχαρισμένον Θεῷ, Παναγιώτατε Δέσποτα. Ἦν γάρ μοι τότε πλησίσιον οἷον φερόμενον περίπτε τὸν ὅρμον τῆς τελευτῆς, ἢ χεδόντι καταῖρον", ἢ πείσματ' ἀνάπτον τῇ ἐκ τῶν τύπων ἀπαλλαγῇ. Ναὶ μὰ τὰς Μέσας, ναὶ μὰ τὰς Χάριτας, ἐκ μυχῶν καρδίας ἐχῆττον ἀνέπνευσα, ἢ οἱ Μινύαι „ἐκεῖνοι, πρὸς τὸ χρυσῆν κῶας εἰς τὴν Κολχίδα κατάραντες, ἤκισα μὲν λογιζόμενος τὲς ἐκ τῶν πόνων ἀφελὲς, ἓς δὴ εἰκὸς ὑποσῆναι μεταξὺ τῆ πλοὸς· μάλισα δ' ἀνοῶν τὴν τῶν ἐμῶν ἀγωγίμων διάθεσιν, ὡς ῥᾴων τε ἢ μεγαλέμπορος ἔσοιτο, ἢ ταῖς τῶν κτησαμένων ψυχαῖς εὖ μάλα ὀνησιφόρος, ὑπὸ προσάτιδι ἢ συσάτιδι τῇ μεγάλῃ εὐνοίᾳ τῆς Ὑμετέρας Θεοσόφε Παναγιότητος· Φιλῆσι γὰρ, κατὰ λόγον τῶν συνισώντων, οἱ ἄνθρωποι, τὸν νῆν προσέχειν τοῖς πράγμασι, ἢ τὴν ἐκείνων ἀξίαν, ἐκ οἶδ' ὅπως, προσαναγράφειν τοῖς συναλλάγμασι· καίτοι γε, νὴ Δία, ἢ αὐτὰ καθ' αὑτὰ τὰ ἐμὰ, Πάτερ, ἀγώγιμα, ἐκ εἰσὶν ὅλως εὖ οἶδ' ὅτι, ἀνάξια τῆς Ὑμετέρας μεγαλοδόξε συσάσεως, ὥς ἐκ ἂν ἢ εὐπρόσωπον τὸν συσήσαντα ἀναδεῖξαι, μήτοι γε δὴ ἢ καταισχυνεῖν, ὡς τὴν Σὴν φιλοσοφίαν πρεσβεύοντα, ἢ τεπίτιμον ἀκραιφνὲς αὐτῆς φέροντα. Ταῦτ' ἄρα ἢ τοσῆτον ἀπέχω ἐγὼ, τὴν τέτων ποιότητα σκοπῶν ὑποσείλαθαι, ὥσε ἢ πεποιθότως θαῤῥήσαιμ' ἂν προσαγαγεῖν τε αὐτὰ, ἢ δέξαιο προφρόνως, Παναγιώτατε Δέσποτα,

ἢ

ἢ μεταδῶς αὐτοῖς τῆς ἐθάδος Σοι μελιχρότητος, ἢ τῆς ἐκ τῆ Πνεύματος ζωηρᾶς εὐλογίας ἢ χάριτος, κοινώσαιο τοῖς χρισῶνύμοις ὁμογενέσιν, εἰ μέλλοι τις ἐξ αὐτῶν ὠφέλεια ἐμοί τε κἀκείνοις γανήσεθαι· εἰδ' ἓν, ἀλλὰ τῆτ' ἀπεύχεθαι δίκαιον, ἢ μᾶλλον τῇ ἀποσιωπήσει παραδοτέον, ἐπειπόντα μόνον,

" Αἰχρόν τοι δηρόν τε κάμνειν, κενεόν τε νέεθαι· "
κατὰ μικράν τινα παρῳδησιν τῆ ποιήματος. Καὶ ταῦτα μὲν ταύτῃ, ἢ πέραν τῆ δέοντος μηκύνοντα, ἀποχναίειν τὸ εὐαφὲς τῆς αἰδήσεως, ὅτι μὴν εὐλόγισον, ἢ ἄλλως ἀξύμφορον.

Ἐπεὶ δὲ, τοῖς πόῤῥωθεν πλοϊζομένοις εὐγνώμοσι τῶν ἀνδρῶν, εἰκός ἐσι, καὶ πρέπον δὲ ἅμα, μὴ κεναῖς, τὸ δὴ λεγόμενον, χερσὶν ἥκειν παῤῥησιαζομένες τοῖς ἄρχεσι, φέρειν δὲ καί τι ὅ, τι ἂν ὁ καιρὸς διδῷ, ὅ, τε λόγος αἱρῇ, ἢ οἷόντ' ἂν ᾖ, ἰδέ Σοι κἀγὼ, τὰς ἀκινήτες χορδὰς τῆς διανοίας ἀνακρεσάμενος, κατὰ Πλάτωνα, προσᾴδω τάδε τὰ ἄμεσα τῆς ἐμῆς Καλλιόπης ἀπηχήματα.

Χαῖρέ μοι ὁ πλοτέρη Ῥώμη, Βύζαντος ἐδέθλον,
ἣν κόσμησε μέγας βασιλέων διΐων,
Κωνσαντῖνος, κόσμοισίν τε δόμοισί τε θείοις·
ἀλλ' ὁ δὴ τὰ φύγον, φεῦ, δρέπανόν γε χρόνε
ἀγκύλον, ἥριπε δ' ὥσε Φερέσβιος ἄσαχυς αἶψα,
κεῖντο δ' ἀῤ ἀγνοίης ἱερόντι δόμῳ·
Ἀλλὰ τὰ, σεῦ γεγαὼς Κωνσάντιος ἐκ ταμιείων,
ἃ πτόλις, ὀρθοῖ τ' αὖ, κοσμέει αὖτε λόγοις·
Τῶ τοι χαῖρε, πόλις Κωνσαντίνε, κλυτὸν ἄσυ,
αὐτὰῤ ἢ τῷ δὴ, ὡς μάλ' ἐγὼν ἐρέω.
Κοσμεῖ νῦν σε ὅ, χερσὶ μετ' ἴχων σκῆπτρα θεοῖο,
εὖ πατριαρχεύων, Κρείττονος ἐννεσίῃ.
Τὸν δὴ ὁρῶντες Μεσάων χοροὶ, ἐκπαγλοι εἶπαν·

πρῶ-

Πρῶτος ὁ Γονναδίε, δεύτερος ἑσπόμενος.
Χαῖρε λεῳ, τοιῷδ' ὑπὸ Φωτὶ θέοντες ἀγαυῷ,
λειμῶνας πρός γε Χριστὲ ἀκηρασίες.
Νικόλεω Λογάδε βαιὸν τόδ' ἄεσμα· ναὶ, ἀλλὰ
λευρῆς ἐκ καρδίης ἔκθορε νή γε Δία.
Ἐξαιτέμενος ἦν, τὴν ἀνέκαθεν πρός με εὔνοιαν, ἀλώβητον ἀποσώζειν καὶ ἀπαράτρωτον, καὶ τὰς ἐπιῤῥοὰς τῶν ἀφθόνων εὐχῶν τε καὶ εὐλογιῶν ὑπεκδεχόμενος εὐλαβῶς, διατελῶ, ἕς τ' ἂν ἐπὶ γῆς ὦ,

Τῆς ὑμετέρας Θειοτάτης, Φιλολογωτάτης καὶ κριτικωτάτης Παναγιότητος.

αωλ', Κατὰ Μῆνα
Ἰέλιον.
Ἐν τῷ Ἀνάπλῳ.

Λάτρις ταπεινὸς,

Ν. Λογάδης.



ΠΑΡΑΠΟΜΠΕΙΟΝ ΜΕΡΙΚΟΝ.

Ἀγάπη μεγίστη εἰς θεὸν, τὸ ἀγαπᾶν τὸν πλησίον. 62.
Ἀδικεῖται μὲν οὐδεὶς, ἀδικοῦσι δὲ πάντες, τί σημαίνει. 32. 33. ὑποσημ.
Ἀδικία μεγίστη, τὸ ἀφαιρεῖν τὴν ζωὴν τῶν ἀῤῥώστων, ἐξ ἀπαιδευσίας τοὺς ἰατρούς. 58. (2)
Ἀθανάσιος ὁ Πάριος. 56. (2) 78. (1) - Ὁ Σταγειρίτης. 45. (1) 80.
Ἀθεΐας ὁρισμός. 3.
Ἄθεος διαιρεῖται. (1) - Ἔχει ἀμυδρὰς ἰδέας ἐσφαλμένας προτάσεις. 5. - Οὐδεμίαν ἔχει ἀρχὴν, εἰ μὴ τὰς αἰσθήσεις. 13. - Ἀποῤῥίπτει τὰς ἀρχὰς τῆς ἀνθρωπίνης σοφίας, καὶ ἐκ τῶν πράξεων τὸ καλὸν καὶ κακόν. 25. - Δὲν ἀρέσκει τὸν Φιλόσοφον. αὐτόθ. - Μιμηθήτω αὐτόν. 48. - Βούλεται γενέσθαι ἀγριάνθρωπος. 16. 17.
Ἀκροτῆτες φιλοσοφίας καὶ χριστιανισμοῦ ἡ ἀθεΐα καὶ δεισιδαιμονία. 3. καὶ (1)
Ἀκτημοσύνη τί. 71.
Ἀλέξανδρος τίς. 56 (2)
Ἄλυσος ἰδεῶν οὐκέτιν. ὁλοσχερὴς, ἀλλὰ συγκεκομμένη, ὁμολογεῖται ὑπὸ τοῦ φιλοσόφου. 49.
Ἀνασκευὴ τῆς τελευταίων διερμηνευθείσης διαθήκης τοῦ Βουλταίρου. 78. (1)
Ἀνατομία, ὠφέλιμος τῷ Χριστιανῷ κατὰ τί. 45. καὶ (2)
Ἀνδρία. 66.

Ἄνθιμος Ἱεροσολύμων. 56. (2)
Ἀντίφασις τί. 7. (3)
Ἄπις, τί ἦν. 18. (3)
Ἄπιοι διατὶ τοσαῦτα βιβλία συγγράφουσι. 30. (1)
Ἀποκάλωψις τί. 10. (1)
Ἀπολλινάριος συγχωρεῖ τὸν Ψαλτῆρα. 42. (3)
Ἀπορίας οὐδεὶ ἀμέσως προτείνειν ἢ λύειν. 56.
Ἀρεταὶ ἰδιωτικαὶ καὶ ἡγεμονικαί. 25· καὶ Θεολογικαί. 10. καὶ Γενικαί. (2)
Ἀριθμητικὴ, τονικὴ τοῦ νοός. 43. καὶ (1)
Ἄρρατα θέματα, τί ἐστι. 64. καὶ (5)
Ἄρχων ἐκπροσωπίζει τὸν θεόν. 59. 75.
Αἰτία, τί. 66. καὶ (3)
Ἀσεϊσμὸς ἐπὶ τῶν θείων φευκτέος. 55. 56.
Ἀστρονομία χρησίμη εἰς τὴν Ἐκκλησίαν καὶ Ἰατρικήν. 45(3)
Βάπτισμα τὴν προπατορικὴν ἁμαρτίαν ἐξαλείφει. 52. (1)
Βασιλεία ἀπὸ Θεοῦ δεδομένη ἐστί. 70. (2)
Βίος αὐτοσχέδιος χωρὶς τοῦ νοεῖν τοῦ ἀπίστου. 17.
Βιτρούβιος τί φησι περὶ κατασάσεως τοῦ ἀνθρώπου. 17. (1)
Βολταὶρ, ἄθεος, εἰκὼν αὐτοῦ. 35. καὶ (2)
Βοτανικῆς γνῶσις ὠφελεῖ τὸν Χριστιανόν. 45.
Βυζάντιον πόλις προκαθημένη τῆς Ἑώας. 41. (1) καὶ 90 (3)
Βυβοὶ μόνον ἐκ γενετῆς, εἰ σώζονται· 53. (1)
Γένεσις ἐνδυναμουμένη ὑπὸ Θεοῦ τὶ ποιεῖ. 7. (2)
Γενικαὶ ἀρεταὶ τέσσαρες. 10. (2)
Γεωγραφία, ὠφέλιμος τῷ Χριστιανῷ. 44.
Γεωμετρία, τονικωτάτη τοῦ νοός. 43. καὶ (1)
Γοργὼ, ὅρ. Παλλάς.
Γραμματικὰ, ἀχώριστα τῶν Ποιητικῶν καὶ Ῥητορικῶν. 42.

Γρα-

Γραφὴ θεία ἀνθρωπίνῃ γλώσσῃ τῷ Χριστιανῷ δοθεῖσα. 11. (2)
Γρηγόριος θεολογεῖ ἐν τοῖς ὑπερφυσικοῖς 38. - Πλείω γινώσκει τοῦ Ἀριστοτέλους. 39. - Πολλὰ ἐσχούργησε τῆς θείας Γραφῆς, καὶ Τραγῳδίαν εἰς τὸ πάθος τοῦ Κυρίου ἐποίησε. 42. καὶ 43. ὑποσημ.
Δεισιδαιμονία καὶ Χριστιανισμὸς, διάφορα. δεισιδαιμονίας ὁρισμός. 3. - Δεισιδαιμονίας σφάγια πόσα. 38. (1)
Δεισιδαίμων τὶ σημαίνει καὶ πόθεν συντίθεται. 21. 22. (1) - Παρομοιάζει τοῖς ἀχρείοις μυίαις. 27. (2)
- Ἐκ προνοίας ἐνεργεῖ τὸ κακόν. 30.
Δημήτριος Καταρτζῆς. σελίδ. ιϐ'. τοῖς ἀναγινώσκουσι.
Δημοσθένης θαῤῥύνει τοὺς Ἀθηναίους. 98.
Δικαιόρας ἄθεος θετικός. 1. (.)
Διάκρισις τῶν παρομοίων, δυσχερής. 1.
Διαφορὰ συστατικὴ τοῦ φρονίμου, τοῦ φιλοσόφου καὶ Χριστιανοῦ, ἡ αὐτὴ καὶ πάλιν ἡ τοῦ ἄφρονος, ἀθέου καὶ δεισιδαίμονος, ἡ αὐτή. 5. - Διαφοραὶ φιλοσόφου καὶ ἀθέου 24. - Τοῦ καλοῦ Χριστιανοῦ. καὶ τοῦ δεισιδαίμονος. 26. - Τοῦ δεισιδαίμονος καὶ ἀθέου. 28.
Δικαιοσύνη Χριστιανοῦ. 67. - Δικαιοσύνην τοῦ Θεοῦ δεῖ φοβεῖσθαι μᾶλλον, ἢ τῇ εὐστοχαγχνίᾳ θαῤῥεῖν. 61. καὶ (2)
Δίλημμα σφοδρὸν τοῦ Σωκράτους περὶ τῆς μελλούσης ζωῆς. 40. καὶ (3)
Ἐγκέφαλος, γλωσσόκομον ἰδεῶν. 34. ὑποσημ.
Ἐγκράτεια. ὅρα Σωφροσύνη.
Ἐγκώμιον, τί. 1. (1)
Ἐγχειρίδιον, Ἀλεξιφάρμακον. καὶ τὸ τοῦ Παπαδοπούλου· 79. ζ'.
Εἰκὼν τοῦ Φιλοσόφου, ὁ Ἀριστοτέλης. ὁ Πούλταρχος. 33. 34

SISMANOGLIO

34. (1) - Τοῦ Χρισιανοῦ, ὁ Βασίλειος καὶ Νικόλαος. αὐτόθ. - Τοῦ ἀθέου, ὁ Βολταίρ. 35. - Τοῦ δεισιδαίμονος, ὁ Ναυάτος. 37. 4.
Ἐκκλησία Λατινική, καὶ αἱ λοιπαί. 21 (1) - Ἐκκλησία τοῦ Χριστοῦ ἀκατάβλητος. 22.
Ἔλεγχος κατὰ Ἀθέων. 78. 6'.
Ἔλλειψις ἐπὶ τῆς πίστεως καὶ τῶν ἔργων ἀποφάσεως. 60. (1)
Ἐνάργεια, τί. 24. (2)
Ἔνθεος ζῆλος, κατὰ δεισιδαίμονα, τί. 20.
Ἕξις τί. 2. (2)
Ἐπίκουρος, ἄθεος. 1. (1)
Ἐπιστήμη τοῦ ἄρχειν 59.
Ἐπιτηδεύματα τοῦ φιλοσόφου. 32. - Τοῦ Χριστιανοῦ. 33. - Τοῦ ἀθέου, 34. - Τοῦ δεισιδαίμονος. 36.
Ἔργα, ὅρα, Πίστις.
Ἰσχάτη συμβουλὴ πρὸς τὸν ἀναγινώσκοντα τὸ παρόν. 78.
Εὐγένιος πότε ἀπέθανε, 56. (1) - Ἐπιστολὴ τοῦ αὐτοῦ. 80.
Εὐλάβεια τοῦ Χριστιανοῦ. 71.
Εὐμορφολογία τοῦ ἀπίστου εἰς τὸ πεῖσαι τὸν Κόσμον ἐρημονόμον γενέσθαι. 17.
Εὐσέβεια, θεόπνευστον. 11. (2) - Οὐδεμία ἀρετὴ μείζων τῆς εὐσεβείας· αὐτόθ.
Εὐσεβὴς, (ὁ) φιλόθεος καὶ φιλάνθρωπος. 28.
Ζυγὸς δικαιοσύνης τοῦ Θεοῦ ἀκριβής. 62. - Ζυγίον κακοτέχνητον. 19. καὶ (1)
Ζῶον δίπουν καὶ ἄπτερον, τί. 18. (2) - Ζῶον ἄλογον ὁ ἄπιστος πειράται κατασκευάζειν τὸν ἄνθρωπον. 25. 49.
Ἠθική, 8. - Διὰ τῆς Ἠθικῆς τί μανθάνει ὁ ἄνθρωπος. 43. (1) - Ἠθικὴ φιλοσοφία Αἰνεσίου καὶ Μαισιόδακος. 43. (1)

Ἡμιωρῶ. πῶς καὶ πόθεν παρήχθη. 70. Ὑποσημ.
Ἡρακλειτίζειν, τί, - Ἡράκλειτος ἀρχηγὸς τοῦ, Οὐδὲν ἀληθὲς, συγήματος. 49. (2)
Ἡρόδοτος, πατὴρ τῆς Ἱστορίας. 88. (4)
Θεόδωρος, ἄθεος θετικός. 1. (1) - Τί ἀνασκευάζων, εἰς κτήνος τὸν ἄνθρωπον κατευτέλιζε. 16. (2)
Θεολογικαὶ ἀρεταὶ πόσαι καὶ ποῖαι, ὅρ. εἰς τὸ, Ἀρεταί.
Θεὸς, τί, κατὰ Σωκράτ. Πλάτων. καὶ Ἀριστοτέλ. 5. (2) - Εὐδόκησε τῷ ἰδίῳ αὐτοῦ σόματι διδάξαι τοὺς ἀνθρώπους τὴν ὀρθὴν Θεοσέβειαν. 11. (2)
Θεοσοφία Ἀββᾶ Ἀντωνίου Γενεσιτησίου μαθητέα. 83. (.)
Θετικὸς ἄθεος, ποῖος. 1. (1)
Θουκυδίδης τί διηγεῖται. 88.
Θρησκεία ἔμφυτος εἰς τὸν ἄνθρωπον. 2. (2) - Ἡ τοῦ Χριστοῦ, τί. 47. Ὑποσημ.
Ἰατρικὴ, βιωφελεστάτη τεχνῶν. 46. Ὑποσημ. - Μαθητέα μόνῳ τῷ ἀκριβῶς εἰδότι αὐτήν. 58. (2)
Ἰδέαι Τίνι παρόμοιαι. 39.
Ἱερουσαλὴμ, Ἱεριχὼ, τί. 83. (2)
Ἱκανοποίησις, ὅρ. Μετάνοια.
Ἰουδαῖοι δεισιδαιμονοῦσι περὶ τίνα. 3. (1)
Ἱπποκράτης τί λέγει περὶ ἀστρονομίας. 46. Ὑποσημ.
Ἱπποκρατικὸς ὅρκος. 58. 59. Ὑποσημ.
Ἵππων ὁ ἄθεος τί φησι. 15. (2)
Ἰσημερία, καὶ ἄλλα τινὰ Ἀστρονομικὰ ἀναγκαῖα τῇ Ἐκκλησίᾳ. 46. Ὑποσημ.
Ἰσοκράτης, ἐρωτηθεὶς ἐν συμποσίῳ, τί ἀπεκρίνατο. 26. (1)
Ἱστορία ἱερὰ καὶ κοσμικὴ ἀναγκαία τῷ Χριστιανῷ. 44.
Ἰωὴ, τί σημαίνει. 73. εἰς τὰ Σχόλια.

Καμαρώνειν. Τί. 35. (2)
Καρπὸς τοῦ Παραλλήλου. 77.
Καρτέσιος πῶς ἀποδεικνύει τὴν ὕπαρξιν τοῦ Θεοῦ. 6. ὑποσημ. καὶ ἑαυτοῦ. 38. (4)
Κηδὰρ, τί ἐννοεῖ. 83. (1)
Κῆπος, τί. 77. (1)
Κλεάνθους προσευχή. 72. (1)
Κοινωνίαι φιλοσόφου καὶ Χριστιανοῦ. 22. - Δεισιδαίμονος καὶ ἀθέου. 28.
Κράτης διατὶ ἐξέθετο εἰς διαρπαγὴν τὴν περιουσίαν. 23. (2)
Κρατύλος κατέφασκεν ἢ ἀπέφασκε τῇ κάτω ἢ ἄνω τοῦ δακτύλου κινήσει. 49. (2)
Κρείττων ὁ Χριστιανὸς τοῦ φιλοσόφου. 38. - Κρείττων τί σημαίνει παρὰ τοῖς πάλαι. 31. (1)
Κύκλων καὶ Θεμελίων Ἡλίου καὶ Σελήνης ἀφαίρεσις, τὶ δείκνυσι. 46. ὑποσημ.
Κυπριανὸς Πατριάρχης Ἀλεξανδρείας. 83 - Συνδιέτριψεν Εὐγενίῳ τοῦ, ἄδηλον. 84. (1)
Λάμπρος Φωτιάδης σελ. ιϐ'. τοῖς ἀναγ. καὶ 56. (1)
Λείψανα τῶν ἁγίων, ὑπόμνημα τῆς μεγάλης αὐτῶν ἀρετῆς. 68.
Λογικὴ τί διδάσκει. 43. καὶ (1) - Ἡ τοῦ δεισιδαίμονος διάστροφος. 31.
Λόγος ἀποχρῶν, τί. 25. ὑποσημ.
Λόφου τοῦ περὶ τὸ Βατοπέδιον ἔκφρασις ὡραία. 85.
Λώκιος τί φησι περὶ ἀθεϊσμοῦ καὶ δεισιδαιμονίας. 29. (1)
Μαθηματικαὶ ἐπιστῆμαι, τίνες. 43. καὶ (1) - Ἀναγκαῖαι εἰς τὴν ἀνάγνωσιν τῶν Ἑλληνικῶν συγγραφέων. αὐτόθ.
Μακάριος τῆς ἐν Πάτμῳ σχολῆς ἀρχιδιδάσκαλος. 87. (1)

Μακαρισμὸς, τί. 1. (1)
Μάξιμος ὁ Πλατωνικὸς, σελ. ή, Τοῖς ἀναγινώσκουσι,
Μεγαλοψυχία τοῦ Χριστιανοῦ. 71.
Μεγάλων ἀνδρῶν τὰ πονήματα οὐ δεῖ λανθάνειν ἀνέκδοτα. 80.
Μεσότητες ἀθεΐας καὶ δεισιδαιμονίας, ἡ φιλοσοφία, καὶ ὁ χριστιανισμός. 3. καὶ (1)
Μετάνοια, ἱκανοποίησις, καὶ ἀποχὴ, ἀναγκαῖα πρὸς σωτηρίαν τοῦ χριστιανοῦ. 61.
Μεταφυσικὴ τί διδάσκει, 43. καὶ (1) - Μεταφυσικαὶ ἀρχαὶ, τίνες. 24.
Μιραμβὼ, Τὶ ἐτόλμησε. 16. (2)
Νεκτάριος Σιναΐτης, οὐχὶ Σιναΐτης. 81. (1)
Νεολατρεία καὶ Ἀρχαιολατρεία ἔχουσιν ὁμοῦ. 80.
Νεόφυτος Καυσοκαλυβίτης. 83. - ὁ Δούκας, σελ. ιϐ'. τοῖς ἀναγινώσκ.
Νεύθων σπασμοῖς συνείχετο ἐπὶ τῷ ὀνόματι τοῦ Θεοῦ. 44. (1)
Νικηφόρος Θεοτόκης. 56. (1)
Νικόλαος Βελαρᾶς. αὐτόθ.
Νόημα τοῦ Θεοῦ ἄμεσον δημιούργημα. 7. (1)
Νόησις ἀΐδιος τοῦ Θεοῦ ταυτὸν καὶ Πρόνοια. 7. (2)
Νομικὴ, ἀναγκαία τῷ Χριστιανῷ. 58.
Νόννος σιχουργεῖ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον. 43. ὑποσ.
Ξενοφῶν τί διηγεῖται περὶ Σωκράτους. 6. ὑποσημ.
Ὀδύσσειος τέχνη. 76. (1)
Οἰνόφλυξ τὶ ἀνακραυγάζει. 94.
Ὄνος αὐτόχρημα, ὁμόνους Γραμματικός. 42. (1)
Ὁμὰς, άδος. ἡ. ἡ ὁλότης, τὸ ἄθροισμα, τὸ Κεφάλαιον. 35.

SISMANOGLIO MEGARO

Ὅμηρος τὸν Τρωϊκὸν πόλεμον διεξέρχεται. 91·
Ὁμιλία τοῦ ἀπίσου Κωμική, Σατυρική· 35·
Ὀμματοῦάλια. καὶ ἡ ἀφαίρεσις αὐτῶν τὶ δεικνύει. 45 (3)
Ὀρθόδοξος ἔχει τὰς ἀρχὰς τῶν γνώσεώντου ἐκ τῆς ἀποκαλύψεως, ἐκ τῶν θείων Γραφῶν, καὶ ἐκ τοῦ φυσικοῦ φωτός. 9. 10·
Ὀρνεώδης, ὁ ἄπισος· 18· (2)
Ὁσιότης, ὅρ. Δικαιοσύνη.
Παιὰν Ἀρίφρονος Σικυωνίου· 92·
Παλλὰς ἄνευ Γοργοῦς. 90·
Παραίνεσις πρὸς ἅπαντας τοὺς χριστιανοὺς, ἐν ἰδιωτείᾳ θεωρουμένους καὶ ἐν ἀξίᾳ, ὅπως δεῖ φέρεσθαι. 53·
Παράλληλον ἀθέου καὶ φιλοσόφου, χριστιανοῦ καὶ δεισιδαίμ. 5· - Καρπὸς αὐτοῦ. 53·
Παρθενία, τί. 66·
Πατέρες τῆς Ἐκκλησίας ἐφιλοσόφουν. 41· καὶ (1) - Ἔπλευσαν εἰς Ἀθήνας καὶ ἀλλαχοῦ. αὐτόθ. - Συνίσων καὶ ἄλλους. αὐτθ·
Πεντάπολις εἰς τὶ ἀλληγορεῖται· 21· (1)
Πετεινόμωλος, ὅρα Ὀρνεώδης.
Πιτίδου Ἰαμβικά. 43. ὑποσ.
Πίστις καὶ ἔργα, ἀδιαχώριστα. 59. καὶ 3· - Ἀναγκαῖα καὶ τὰ δύο πρὸς σωτηρίαν τοῦ Χριστιανοῦ. 66. αὐτόθ. - Ὅρα καὶ δικαιοσύνη.
Πιστὸς ἀπὸ τίνων φυλαχθήσεται. 46. (1)
Πλάτων τὶ φρονεῖ περὶ Θεοῦ καὶ περὶ ψυχῆς. 5. (1) - Καὶ περὶ μέλλοντος βίου. 10. καὶ 23. (3) - Καὶ ὅτι θεοδίδακτον ἡ θεοσέβεια. 11. (2) - Ποσφητεύει οἱονεὶ περὶ Χριστοῦ· αὐτθ. - Μωσῆς Ἀττικίζων· 14. ὑποσ.

Πλη-

Πληροφορία τὶ. 16. καὶ (3)
Πλούταρχος τί φησι περὶ Πλάτωνος. 6. ὑποσ· - Τί φησι περὶ ἀθέου καὶ δεισιδαίμονος. 29. (1) - Εἰκὼν τοῦ ἀληθινοῦ φιλοσόφου. 32·
Πνευματικοὶ ποιμένες ὁποῖοι ὀφείλουσιν εἶναι 76.
Πνευματικὸς ἄνθρωπος. 10. (3)
Πολιτεία δεισιδαίμονος, ὁποία 36. - Τοῦ Χριστιανοῦ. 54. λ'.
Πόνοι τῆς θρησκείας παραίτιοι εὐθυμίας καὶ ὑγιείας. 62. (2)
Πόσις μυσικὴ, τί. ὅρ. Τροφή.
Πραότης τοῦ Χριστιανοῦ. 65.
Προβλήματα λεπτεπίλεπτα καὶ αἰθέρια ὑπὲρ τὸ διότι 46. 47. ὑποσμ. Προμηθεὺς τὶ ἐφεῦρε. 18. (1)
Πρόνοια, τί. 7. (2)
Πρόσωπον Θεοῦ, τί. 11. (1)
Προτροπὴ τοῦ ἀθέου εἰς σιωπήν. 48. - Καὶ τοῦ δεισιδαίμονος εἰς τὸ αὐτὸ. 50.
Προφασιολογία Χριστιανοῦ, ἀνωφελὴς. 60. (1)
Πτωχοπροδρόμου Ἰαμβεῖα, ὡραῖα. 43. ὑποσ·
Πυθαγόρας εἰς τὶ ὑπέβαλε τοὺς μαθητὰς αὐτοῦ 52. (2) - Καὶ διὰ τίνα σκοπόν. αὐτόθ.
Πυῤῥωνισμὸς, τί. 40. (1) - Ἀναιρεῖ καὶ αὐτὴν τὴν Γεωμετρίαν. αὐτοθ.
Ῥεϋνὰλ ἀντίχριστος, λίαν παράξενος, τὶ λέγων περὶ χριστιανισμοῦ. 47. ὑποσημ.
Ῥωσσώ, ἄθεος. 1. (1) - Τὶ γράφει εἰς τὸ βιβλίον τὸν Ἀγριάνθρωπον. 17. (1)
Σίνναχρειμ εἰς τὶ ἀλληγορεῖται. 21. (1)
Σίξτος ὁ Ἐμπειρικός. 40. (1)
Σέργιος Μακραῖος. 56. (2)

Σιβύλλαι. 14. ὑποσημ.
Σχολιόν, τί. 92.
Σόδομα καὶ Γόμορρα. ὅρ. Πεντάπολις.
Σουΐδας ὁρίζεται τὴν δεισιδαιμονίαν κῶς. 4. ὑποσημ.
Σοφία τοῦ Κόσμου, μωρία ἐπίσημος. 54.
Σοφισαὶ, τίνες· ἡ. τοῖς ἀναγινώσκουσι.
Σπαρτίον ἔντριτον. 79. ὑποσημ.
Σπινόζας, ἄθεος θετικός. 1. (1)
Στερητικὸς ἄθεος, τί· αὐτόθ.
Στοϊκοῖος. 5. (2)
Συμβουλὴ πρὸς τὸν Φιλόσοφον Ἵνα δεχθῇ τὴν Ἀποκάλυψιν. 40.
Σχολαστικὴ περίνοια, ἐμπόδιον τῆς Φιλοσοφίας· ἄχρηστος τῇ Θεολογίᾳ· αἱρέσεων γεννήτρια. 46. - Σχολαστικοί, τίνες. 8. (1)
Σχόλια εἰς τὴν Προσευχὴν τοῦ Κλεάνθους. 73
Σωκράτης τί φρονεῖ περὶ ψυχῆς· 5 ζ'.
Σωφρόνιος Πατριάρχης. 56· (1)
Σωφροσύνη Χριστιανοῦ. 66.
Ταλανισμὸς τί. 1· (1)
Τέλειοι ἀριθμοὶ, σύμβολα τῶν τελείων ἀνδρῶν. 48. ὑποσ.
Τελειότητες ἐπὶ Θεοῦ καὶ ἀνθρώπων. 9. (2)
Τελικὰ αἴτια· 6. (1)
Τηλεσκόπια. καὶ ἀφαίρεσις αὐτῶν τί ποιεῖ. 45· (3)
Τραγωδία Γρηγορίου εἰς τὸ πάθος· ὅρ. Γρηγόριος.
Τριπτόλεμος τί ἐφεῦρε. 18. καὶ (1)
Τρόπαιον ὀρθοδοξίας. 78· (1)
Τροφὴ μυστικὴ, τί. 67·
Τυφλὴ πρόβιξα μαλάρων. 93

Ὕδρα, τί, κυρίως καὶ μεταφορικῶς. 19. καὶ (2)
Ὑμνεῖν τὸν Θεὸν, λειτούργημα μέγιστον. 72.
Ὑπερπάδειρον πλεύσιμον· ὑπὲρ τὰ Γάδειρα, ἔξω Γαδείρων· καὶ μεταφορ. ἔξω τῶν προσηκόντων ὅρων. 46. (1)
Ὑπακοή· ὅρ. Δικαιοσύνη.
Φιλοσοφία διαφέρει ὅλως τῆς ἀθεΐας. 3. - Ἐπωφελεστάτη τῷ πιστῷ, καὶ ἀναγκαιοτάτη. 41. - Παρὰ τῷ χριστιανῷ πῶς λογίζεται. 54. - φιλοσοφίαν μέχρι τίνος ἠσπάσαντο οἱ πατέρες. αὐτόθ. - Φιλοσοφία οὐκ ἀπορρέφεται τοὺς δικαίους ἐπαίνους. 63· (1) - φιλοσοφίας ἔπαινος· ς'· ζ'· η'· θ'· τοῖς ἀναγινώσκουσι·
Φιλόσοφος πάμπολλα ἀγνοεῖ, ἅπερ ὁ Χριστιανὸς γινώσκει. 39. - Ἔχει στοιχεῖα καὶ ἀρχὰς εἰς τὰ πρακτικά. 8. - Περαίνει τὴν εὐδαιμονίαν αὐτοῦ εἰς τοῦτον τὸν βίον. 23. - Στοχάζεται τὸν ἄθεον, σφαλερόν· 25. - Φιλόσοφοι ἐθνικοὶ πόθεν ἔλαβον τὰς ἀληθεῖς περὶ Θεοῦ ἰδέας. 14. ὑποση.
Φρόνησις, τί· 65· λθ.
Φυλλάδιον ἀνώνυμον, ὁ ποῖον ἦν, γ, δ, ε. . . ιά· καὶ ἑξ.
φυσικὴ Ἱστορία, ὠφέλιμος τῷ Χριστιανῷ. 44.
Χαλεπὰ τὰ καλά. 66
Χαρὰ τοῦ φιλοσόφου. 9.
Χαρακτῆρες τοῦ Φιλοσόφου. 5. ζ. - Τοῦ Ὀρθοδόξου. 9. η'. - Τοῦ ἀθέου. 13. θ'. - Τοῦ δεισιδαίμονος. 18. ι.
Χάρυβδις. ὅρ. Σκύλλα.
Χρεὴ τοῦ ἄρχοντος· 75. - Τοῦ Ἱεράρχου· 76. - Τοῦ Κοσμικοῦ, καὶ τοῦ Μοναχοῦ. αὐτόθ.
Χριστιανισμὸς διάφορος τῆς δεισιδαιμονίας. 3.
Χριστιανὸς οὐκ ὀφείλει ἀπορρέφεσθαι τὴν φιλοσορίαν. 41.

- Ἔξι πνευματικώτερος, οὐ ψυχικώτερος κατὰ τὸν Φιλόσοφον. 10. (3) - Πρέπει ἵνα ὑπερβαίνῃ τὸν φιλόσοφον ἐν ταῖς ἀρεταῖς· 33.
Χρονολογία ὠφέλιμος τῷ σπουδαίῳ Χριστιανῷ. 44.
Χρυσομανὴς τὶ φωνάζει. 93.
Χρυσοῦς αἰών. 17. (1)
Ψεγάδια· ἐλαττώματα ψεγόμενα· ἢ ψόγου ἄξια 63.
Ψελλὸς ἐπαινεῖ τὸν Πισίδην ἰαμβίζοντα. 43. ὑποσημ.
Ψόγος τί. 1. (1) - Φευκτέος τῷ Χριστιανῷ 63 λς'.
Ψυχὴ ἀθάνατος. 6. ὑποσημ.
Ψυχικὸς ἄνθρωπος. τί. 10. (3)
Ψυχὴς εἰς τὰ θεῖα. τὶς, κατὰ τὸν δεισιδαίμονα· 28.
Ὠδεῖον Ἠθικὸν. 93.
Ὠφέλεια ἡ ἐκ τῶν φυλαττομένων χρεῶν τῶν Ἱερωμένων καὶ Λαϊκῶν. 27.

ΤΕΛΟΣ·



ΑΒΑΚΙΟΝ ΠΑΡΟΡΑΜΑΤΩΝ, Η' ΚΑΚΟΤΥΠΩΤΩΝ, Η' ΑΚΟΛΑΠΤΩΝ ΣΤΟΙΧΕΙΩΝ ΚΑΙ ΛΕΞΕΩΝ, ΔΙΟΡΘΟΥΜΕΝΩΝ ΕΝ ΤΑΥΤΑ.

Σελ. ή. ἀντὶ τοῦ, κἂν Γραπτ. καὶν — Ἐν τῇ ὑποσημ. ἀντὶ τοῦ, αὐτοῖς. Γρ. αὐτοῖς — ἀντὶ τοῦ, εἶποι Γρ. ἂν εἴποι

Σελ. ί. ἀντὶ τοῦ, ἀναιρεῦντες Γρ. . . . τες

Σελ. ιά. ἀντὶ τοῦ, καὶ Γρ. καὶ — ἀντὶ τοῦ, εἰπερ Γρ. εἴπερ — δ' οἰκονομήσοις Γρ. δυσοὶ . . . — δὲ τὸ Γρ. δὲ τό. — Λοξ' ὁ — Γρ. Λοξίας — τοὺς Σκότους Γρ. τὸς Σκότως — αὶ Γρ. ᾗ — ᾧ. Γρ. τῷ — οὐ κινεῖς Γρ. ὀρανίως — Ἦν δὲ οὑτῶ Γρ. Ἦν δὲ αὐτῷ — τοῦ ο Γρ. τοῦτο

Σελ. ιγ'. προϊῶν Γρ. προϊῶν — Πολλοὶ Γρ. Πολλοὰ

Σελ. ιδ'. Τμνειν Γρ. Τάμνειν — Μου σύχες Γρ. Μυσάρε.

Σελ. ιε'. μετίω Γρ. μετίτω

Σελ. ί. ἀνδρῶν. δὲ Γρ. ἀνδρῶν. ὁδὲ — Διαγόρας Μήλιος Γρ. Διαγόρας ὁ Μήλιος — οἷον ὁ Ἐπίκυρος Γρ. οἷος ὁ Ἐπί . .

Σελ. 3. οἱ θέλοντες Γρ. οἱ θέλ. . — ἰκοίαις Γρ. οἰκίαις — (Ω) σελ. 24. Γρ. (1) σελ. 22. .

Σελ. 4. ἐφ. ἑκάτερα, Γρ. ἐφ' ἑκ . . . — ἱερέως, Γρ. ἱερέως. (δηλ. τελείαν σιγμήν.) — ἕτεροι δέ· Γρ. ἕτεροι δὲ, (ὑποδιαστολὴν δηλ.)

Σελ. 5. ἡ αὐτὴ Γρ. ἡ αὐτὴ — συγκροτούμενα· Γρ. συγκροτέμενα. (τελείαν δηλ.)

Σελ. 6. λεγει ὅτι! Γρ. ὅτι, — ἀτελῆ Γρ. λῆ — τοιγαροῦν Γρ. ρῦν — κφ Γρ. κφ'. — ἦον Γρ. οἷον — δυσμὰς ᾧ, Γρ. μὰς, ᾧ συγ . . . — ἐστι, παριστάμενον Γρ. ἐστι παρ . . . — δημιουργία Γρ. δημι. .

Σελ. 8. τοῦ ις'. Γρ. τῆς ις'.

Σελ. 9. πράττει τὸ καλον· διότι ἔναι καλὸν, Γρ. τὸ καλὸ ν, διότι ἔναι καλόν· — ἀμεμτος Γρ. ἀμεμπτος.

Σελ. 10. νώσεων Γρ. γνώσεων — αὐτῶν Γρ. αὐτῦν — π. ιεύματος Γρ. — Πνεύματος.

Σελ. 11. ἀλλα Γρ. ἀλλὰ — ἀλλ' εἶδεν Γρ. οἶδεν

Σελ. 12. λεκτέον· Γρ. λεκτέον. „ (δηλ. μετὰ δισίγμου „) — δυνατὸ· ὡςε ὡς οἷόν τε Γρ. δυνατὸν ὡς οἷον τε (περιττῆς ἀποφάσεως τὸ, ὥςε.)

Σελ.

Σελ. 13. ἰδὲν Γρ. ἰδὲν — ὅς τις " λέγω Γρ. ὅς τις λέγω "
Σελ. 14. ταύτης Γρ. ταύτην — ταῦτ—Γρ. ταῦτα. —ἴδλη Γρ. ἔλθῃ — ἐθνῶν, φιλοσόφως Γρ. ἐθνῶν φι.. — ἀγκλὰ Γρ. ἀγκαλὰ

Σελ. 15. ἰδέαν Γρ. ἰδέας
Σελ. 16. μὴ ὠνοεῖν. Γρ. ἔν· (μετὰ μεσοσιγμῆς δηλ.) —Ἀλλ' αὐτὸ ἀληθέσατον Γρ. Ἀλλὰ τὸ ἀλη... — ὡς ἀληθῶς Γρ. ὡς ἀληθῶ,

Σελ. 17. δὲν ἔχε Γρ. δὲν ἔχει — ἄτερ πόνων Γρ. ἀτερ τε πό..
Σελ. 18. Δημτριακῶν Γρ. Δημητ...
Σελ. 19. τὰ περιττὰ ἀναγκαῖα Γρ. τὰ περιττὰ, ἀν... — ἧς τίνες Γρ. ἧς τινος — ποικίλων Γρ. ποι...

Σελ. 20. ἀναργεῖ Γρ. ἀεργεῖ — ἀδεικῖ Γρ. ἀδικεῖ
Σελ. 21. αὐῷτ Γρ. αὐτῷ — τὴν Ἀρμωικὴν, Γρ. κὴν·
Σελ. 24. (1) παρ ἐγρ. ζ'. σελ. 6 Γρ (2) παραγρ. ζ'. σελ. 9.
Σελ. 25. σελ. 9 (1) Γρ. σελ. 7· (3.) — λόγος ςὶν Γρ. ἐςίν, — ἄνοια τῶν Γρ. ἀνοίαν τῶν

Σελ. 30. Ὡς λωσαμένη Γρ. Υ̓ς λυσα...
Σελ. 31. ἑαυτῷ, ἐπεπειλεῖ Γρ. ἑαυτῷ ἐπαπ... — Τοσοῦτον ἀρκεῖ τοῖς φρονίμοις φασὶν, ὀλίγα, Γρ. Τοσοῦτον ἀρκεῖ· Τοῖς φρονίμοις, φασὶν, ὀλίγα. — Κρεῖττον παρὰ Γρ. Κρείττην παρὰ... — μεγισὰν ὁ βασιλεὺς Γρ. ὁ μεγισὰν, ὁ βασ.. — κρήττονες Γρ. Κρήτ.. — ὁ Ζεύς Γρ. — ὁ Ζεύς. (τελείᾳ δηλ.)

Σελ. 32. τὸ ἔργον τυ Γρ. τυ, (μεθ' ὑποδιαςολ.)
Σελ. 33. εἴη ; „ ἢ ἀπεκ... Γρ. εἴη ; „ ἀπεκ...
Σελ. 34. δὲν συμφονεῖ Γρ. φω.. — τῶν χρημάτων τυ; Τὶ λοιπόν· Γρ. τυ. Τί λοιτόν ; — ἢ θικήν· Γρ. ἠθικήν· — ἀνθρωπεν· Γρ. πον ;

Σελ. 35. βαθίεται Γρ. βρωθ...
Σελ. 37. ἀπωλοίας Γρ. ἀπωλείας
Σελ. 39. ἠξεύρη Γρ. ἠξεύρει
Σελ. 40. τελειοποιεῖ Γρ. τελειοποιεῖ
Σελ. 41. μαγέθη Γρ. ἢ μεγέθη. — ηλονότ. Γρ. δηλ...
Σελ. 42. ἐις τὸ ἐπικήδειον Γρ. ἐις τόν... — Ἀλωάδων Γρ. αδῶν
Σελ. 43. Ἰφέον, ὅτι Γρ. Ἰζέον δὲ, ὅτι
Σελ. 44. κατὰ πλευρὰν διάμετρον Γρ. ἢ διάμετρον
Σελ. 46. Σχολαςὴν Γρ. Σχολαςικὴν
Σελ. 48. ἔχμων Γρ. ἔχωμεν — ἀγωγὴν Γρ. ἀγωγήν;
Σελ. 49. δόξης — γένετο Γρ. δόξης ἐγέ...
Σελ. 50. αὐτὲ, τῷ συςήματος ὅτινος Γρ. ςίζοντα ὅτω· αὐτῷ τῷ συςήματος· ὅτινος

Σελ. 51. σελ. (54 .) Γρ. σελ. 49. (1) —διὰ τῦτο Γρ. ἢ διὰ...
Σελ. 54. Μετρεῖ Γρ Λ'. Μετρεῖ — προπυμμώως Γρ. προπυμμένος
Σελ. 59. χαρᾶς διότι Γρ. χαρᾶς· διότι
Σελ. 63. εὑρίσκωνται, ἄνθρωποι Γρ. τα ἀν... —μάθης" Γρ. μάθης"
Σελ. 66. διαγορεύειν. Γρ. α.

Σελ. 68. παρακαταθήκης Γρ. κη—ζῶ Γρ. ζῶν— αὐτῦ Γρ. αὐτῶν. —' (ὁ Θεός·) Γρ. (ὁ Θεός.) Καὶ κφ. ις' 23. " Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μυ, δώσει ὑμῖν. α Προσκ...

Σελ. 69. τὸ ἐνδόμιμον Γρ. τὸ ἐνδόσιμον — προφέρομεν Γρ. προσφ... — ἐκτενὴ Γρ. νὴς — Ἀπέςελε Γρ. Ἀπεςειλεν

Σελ. 70. ἐπανωφόρι ; Γρ. ἐπανωφόριον; — προσφέρων Γρ. προσφέρειν — ὁμοφυίας συγγενείας. Γρ. ἢ συγγ...

Σελ. 71. Κυρίυ της Γρ. της ; — παραγωγίε· Γρ. γέα·
Σελ. 72. γ ᾶιαν· Γρ. γᾶιαν, — κρατῆται Γρ. κρατῆται. — Τοιῦτον Γρ. τοῖον — κεφαυνὸν, Γρ. νόν· — ὧ Γρ. ὦ — λόγον ὅς Γρ. λόγον, ὃς — πόντῳ Γρ. πόντῳ· — ὥσθ' Γρ ὥσθ' — Πάντων Γρ. πάντων — ἐῶσι Γρ. σιν, — δύσμοροι οἵ τ' Γρ. δύσμοροι· οἵ τ' —ἔχεεν· Γρ. Γρ. ἔχοιεν· — αὖ ὁρμῶσι Γρ. αὖθ' ὅρ.... — ἡδέα Γρ. ἡδ...

Σελ, 73. ἀγνιαὶ Γρ. ἀγυιαί.
Σελ. 74. φέρεντος Γρ. τες — λυγρῆς ἀπὸ Γρ. λυγρῆς· ἀ...
Σελ. 75. ποιμωμένων· Γρ. ποιμα...
Σελ 76. ὅτ Γρ. ὅτι

Σελ. 85. Dis paribus Γρ. Disparibus (συναπτῶς δηλ.)
Σελ. 86. ἤτ τοιῦτον Γρ ἤτι τοι..
Σελ. 87 ἀντισηκώση Γρ. ἀντισηκώσει — Σχολείου Γρ. Σχολεῖυ,
Σελ. 89. ἐν μέρει ἢ Γρ. ἐν μέρει, ἢ...
Σελ. 96. ἤτι μὴν Γρ. ἤτε μὴν

Τὰ δὲ λοιπὰ ἐκ σεαυτῦ διορθώσεις, ἐκ τύτων ποδηγετύμενος, εἴτην παράδειγμα λαμβάνων. μεμφίμενος δὲ τῷ τυπογράφῳ, ἀλλὰ τῷ ἀτελεῖ τῆς τυπογραφίας.

SISMANOGLIO MEGARO

ΤΑΔΕ

Τριττά με ὑπνώοντα πιπίσκει αἷμα ἐν ὥρῃ
ζῳδια, ἃ ὕπνον νήδυμον ἐκσοβέει.

Ψύλλαι σκιρτητῆρες, ἰδ' ἕρποντες κόριες ὅτοι
ὀζόλαι, ἢ πτανοὶ κώνοπες ἡδυβόαι.

Ἦτοι μὲν ψύλλαι, κόριές τε λάθρῃ ἐμὸν αἷμα
συλῶσιν, καί μοι ὕπνον ἀπὸ βλεφάρων.

Κώνωπες δέ μοι ὀμφαδὸν ἐπίασι κατ' ἄρην,
σαλπίγγοντες ἑοῖς, ὡς σομάτεσσι, πτίλοις.

Αὐτὰρ ἐμοὶ κώνωπες ἀρείονες, οἳ μαχέσιντο
ἃ Ταύροις κεραοῖς, καί τε Λέουσι φόνοις.

Τἆλλα δέ μοι ἔχθιστα ὁμῶς δολίοισι βροτοῖσιν,
οἵμεν δηλεῦνται κτήματα λάθρα βίῃ.

Παῖγμα τὸ Νικόλεω Λογάδαο, πρὸς ὃν ἀλεωρὴν
ὕπνῳ ἐνδίῳ, ἵματι ἰδαλίμῳ.

1828. Ἰωλ. 22.

Βαρδαλάχος μὲν ἐν Αἰγαίῳ περὶ Κύθνον, ὑπῆλθεν
ἁλμυρὸν ὕδωρ, αἴ, μυρόμενος Κυκλάσι·

Κομμητᾶς δ' ἅμ' ἐν Δακίῃ ὑπὸ γαῖαν ὑπῆλθε,
μυρόμενος δὴ ὅλοις Ἑλλαδικοῖς δαπέδοις.

Ἄμφω γηραιοὶ, γεραροί τε, ἐπωφελέες τε,
ἀλλὰ οὐ Κομμητᾶ, φέρτερε Βαρδαλάχε,

Ἑλλαδικῆς σοφίης πνείων πολλὸν, μάκαρ, ἐσσὶ
παισὶ τιθηνότερος, δὲς ἰδίων χαρίτων.

Ταῦτ', ἀπαθὴς λεύσσων ὀφθαλμῷ, ἑτάρος ὑπάρχων
ἀμφοτέροις, ποιεῖ μνημόσυνον Λογάδης.

1830. Μηνὶ Αὐγούστῳ.

SISMANOGLIO
MEGARO